UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

Ex Libro Septimo Historiae.

**urn:nbn:de:hbz:466:1-14162**

Visual Library

morbo correptus, ibidemq; ab Euzoio A baptizatus, Imperium pariter ac vitam, & synodos ad stabiliendam impietatem, dereliquit.

6. Cùm Constantius ad sepulturam ferretur, Julianus Constantinopolim ingressus, ante feretrum processit absque diademate, honorem exhibens mortuo, cui paulo ante vitam adimere properabat.

7. Julianus cùm imperium per vim sibi vindicasset, Aetium, utpote qui Galli causâ in discrimen venisset, ab exilio revocavit: nec eum solum, sed & reliquos omnes qui ob Ecclesiastica dogmata relegati fuerant, in suas sedes restituit.

λευμθύας κρήνας, καὶ νόσῳ βληθεὶς, εἶτα καὶ βαπτισάμενος παρὰ εὐζωΐου, τήν τε βασιλείαν ἀπὸ βίου, καὶ τὰς ἐπ' ἀσεβείᾳ συνόδους ἀπέλειπε.

6. Ὅτι κομιζομένου πρὸς ταφὴν κωνσταντίου ὁ ἰουλιανὸς καταλαβὼν, τῇ τε σορῷ προεπόμπευε, τῆς κεφαλῆς ἀφελόμενος τὸ διάδημα, καὶ τιμῶν τὸν νεκρὸν, οὗ τὴν ζωὴν ἀφελέσθαι ἐπεστράτευσεν.

7. Ὅτι τὴν βασίλειον ἀρχὴν ἁρπάσας ὁ ἰουλιανὸς, ἅτε δὴ ἀέτιον διὰ γάλλον δῆθεν κινδυνεύοντα, τῆς φυγῆς ἀνακαλεῖται· οὐκ αὐτὸν δὲ B μόνον, ἀλλὰ καὶ τοὺς ἄλλους, ὅσοι δογμάτων ἐκκλησιαστικῶν ὑπερορίαν ὑπέστησαν.

---

## *EX LIBRO SEPTIMO HISTORIÆ.*

1. JULIANUS cùm Imperium per vim arripuisset, & Gentilibus per edicta licentiam omnem concessisset, ut nihil eorum, quæ, didicerant omitterent: Christianos in gravissimas & inexplicabiles ærumnas conjecit: Gentilibus ubique locorum, omnis generis tormenta novosque cruciatus & acerbissima mortis genera eis infligentibus.

2. Cùm Georgius Alexandriæ Episcopus Concilio præsideret, & eos qui idem cum Aetio sentiebant, Epistolæ adversus Aetium subscribere cogeret, gentiles repente insilientes eum comprehenderunt. Et post multas corpori ejus illatas contumelias, ad extremum igni tradiderunt. Porro impius iste scriptor ait, Athanasii consilio eos ad hoc facinus incitatos fuisse. Quippe interfecto Georgio Athanasius propriam sedem recuperavit, Alexandrinis libenti animo eum excipientibus.

3. De statua Servatoris nostri, quam fides mulieris quæ sanguinis profluvio laborabat, bene de se merito gratiã referens erexit, scribit Philostorgius eam collocatam fuisse juxta fontẽ qui est in urbe, unà cum aliis statuis, & jucundum atque amœnum spectaculum præbuisse spectantibus. Cumque herba ad pedes Servatoris enata, adversus morbos omnes, præcipue verò adversus tabẽ efficacissimum esset remediũ, causã hujus rei inquiri cœpit. Temporis enim lapsu memoria exciderat, & cujusnam ea effigies esset, & quam ob causam fuerat collocata. Quippe Servator sub dio stãs nudusque, haud exigua corporis parte

## ΕΚ ΤΗΣ ΕΒΔΟΜΗΣ ΙΣΤΟΡΙΑΣ.

1. Ὅτι τὴν βασιλείαν ἰουλιανὸς ἁρπασάμενος, καὶ τοῖς ἕλλησι διὰ προγραμμάτων πᾶσαν ἄδειαν εἰσενεγκὼν, μηδὲν τῶν μελετωμένων ἄπρακτον ἐᾶν, εἰς ἄρρητά τε καὶ ἀδιήγητα πάθη κατέστησε τοὺς χριστιανοὺς, πανταχοῦ τῶν ἑλληνιστῶν πάσας αἰκίας καὶ καινὰς βασάνους καὶ πικροτάτους θανάτους ἐπαγόντων αὐτοῖς.

C 2. Ὅτι γεώργιον τὸν ἀλεξανδρείας συνεδρίου, φησὶ, προκαθεζόμενον, καὶ τὸν κατὰ ἀετίου τόμον ὑποσημειώσασθαι τοὺς ὁμοδόξους βιαζόμενον, εἰσπηδήσαντες τὸ ἑλληνικὸν καὶ συλλαβόντες αὐτὸν, πολλά τε εἰς τὸ σῶμα ἐνυβρίσαντες, εἶτα πυρὶ παρέδωσαν. φησὶ δὲ ὁ δυσσεβὴς συγγραφεὺς οὗτος, καὶ τὴν ἀθανασίου γνώμην στρατηγῆσαι τῆς πράξεως. ἀλλὰ γὰρ γεωργίου διαφθαρέντος, τὸν οἰκεῖον θρόνον ὁ ἀθανάσιος, τῶν ἀλεξανδρέων αὐτὸν ἀσμένως ὑποδεξαμένων, ἀναλαμβάνεται.

D 3. Ὅτι περὶ τῆς εἰκόνος τοῦ σωτῆρος ἣν ἡ τῆς αἱμόρρου πίστις ἀμειβομένη τὸν εὐεργέτην ἀνέστησεν, ἱστορῶν φησιν, ἀνεστηλῶσθαι μὲν ταύτην κατὰ τὴν πηγὴν τὴν ἔνδον τῆς πόλεως, μετὰ καὶ ἑτέρων ἀγαλμάτων, τερπνότατόν τι παρέχειν τοῖς φοιτῶσι θέαμα. τῆς δὲ σωτῆρος εἰκόνος βοτάνης κατὰ τοὺς πόδας ἀναφυείσης, νοσημάτων μὲν ἁπάντων, μάλιστα δὲ τῆς φθινάδος, ἴαμα καὶ ζητούντων τὴν αἰτίαν ἐλελήθει γὰρ τῷ χρόνῳ καὶ οὗτινος ἔφερε μορφὴν, καὶ ἡ πρᾶξις δι' ἣν ἀνεστήλωτο. ἐν ὑπαίθρῳ γὰρ καὶ γυμνὸς ἑστὼς, ἐπ' οὐκ ὀλίγον συν-

χώσθη τοῦ σώματος, γῆς ἐπ' αὐτὸν ἐκ τῶν ὑψηλοτέρων ἀεὶ τόπων ἐν τοῖς τῶν ὄμβρων μάλιστα καιροῖς ἐπιφερομένης, ὑφ' ἧς ἡ τῶν γραμμάτων τῶν ἕκαστα δηλούντων ἠφάνιστο γνῶσις· τῆς οὖν ζητήσεως ταύτης ἐπιστάσης, ἀνωρύχθη μὲν τὸ συγκεχωσμένον· εὑρέθη δὲ γράμματα τὴν ἱστορίαν πᾶσαν ἀναδιδάσκοντα. καὶ ἡ πόα μὲν οὐκέτι μετ' ἐκεῖνον ὤφθη τὸν χρόνον, οὔτε ἐκεῖ, οὔτε ἀλλαχόθι. τὸν δὲ ἀνδριάντα μεταστησάμενοι ἐν τῷ τῆς ἐκκλησίας διακονικῷ, τὰ πρέποντα ἐθεράπευον, σέβοντες μὲν ἢ προσκυνοῦντες οὐδαμῶς. οὐ γὰρ ἦν θέμις χαλκῆν ἢ ἄλλην ὕλην προσκυνεῖν. αὐτὸ δὲ τοῦτο, στάσει τε σεμνοτέρᾳ, καὶ τὸ μεθ' ἡδονῆς ἐπιφοιτᾶν τῷ τόπῳ τὸ εἶδος θεραπευσομένους, τὸν περὶ τὸ ἀρχέτυπον πόθον ἐπιδεικνύμενοι. τοῦτο τὸ ἄγαλμα κατὰ τοὺς ἰουλιανοῦ χρόνους, τὸ ἑλληνικὸν εἰς ἀσέβειαν ἀναφλεχθέντες οἱ τὴν πανεάδα οἰκοῦντες, τῶν βάθρων ἀνασπασάμενοι, καὶ τῶν ποδῶν ἐκδησάμενοι, διὰ μέσης ἔσυρον τῆς λεωφόρου· ἐφ' ᾧ τὸ μὲν ἄλλο σῶμα διασπώμενοι κατέκλασαν· τὴν δὲ κεφαλὴν ἐν τῷ σύρεσθαι, τοῦ αὐχένος διαζυγεῖσαν, τινὲς λαθόντες τῶν ἐπαλγούντων τοῖς δρωμένοις, ἀνελάβοντό τε, καὶ ὡς ἠδύναντο διεσώσαντο. καί φησι, ταύτην καὶ αὐτὸς θεάσασθαι. ἡ μέντοιγε πανεὰς δὰν ἐπωνομάζετο τὸ παλαιότατον, τὴν προσηγορίαν ἀπὸ τοῦ παιδὸς τοῦ ἰακὼβ δὰν ἑλκυσαμένη, τοῦ φυλάρχου τῶν ταύτῃ οἰκούντων τότε· εἶτα δὲ καισάρεια ἡ φιλίππου ἐπεκέκλητο· τῶν δὲ ἑλληνιστῶν πανὸς ξόανον αὐτῇ καθιδρυσάντων, εἰς τὴν τῆς πανεάδος ἐπωνυμίαν μετέβαλεν.

4. Ὅτι τῶν ἑλληνιστῶν τὰ ἀτοπώτατα κατὰ τῶν χριστιανῶν πανταχοῦ παλαμωμένων, καὶ τοῦτο τοῖς ἀσεβέσι κατὰ παλαιστίνην δεδραματούργηται· τὰ τοῦ προφήτου ἐλισαίου ὀστᾶ, καὶ τοῦ βαπτιστοῦ ἰωάννου· ἐκεῖ γὰρ ἄμφω ἐτέθαπτο. τῶν θηκῶν ἐξελόμενοι, καὶ ζώων ὀστέοις ἀλόγων συγκαταμίξαντες, ὁμοῦ πρὸς κόνιν κατέκαυσαν, καὶ εἰς τὸν ἀέρα διεσπείραντο. καὶ τοὺς χριστιανίζοντας δὲ συλλαμβάνοντες, ἔστιν ὅτε τοῖς βωμοῖς ἀναπτωμένοις ὡς ἱερεῖα ἐπέθεσαν· καὶ εἰς πολλὴν ἄλλην ἀρρητουργίαν ἐξεβακχεύθησαν. ἀπεὶ ἰουλιανὸς ἐπιστάμενος, οὐχ ὅπως ἤχθετο, ἀλλὰ καὶ διαφερόντως ἔχαιρεν, καὶ τῆς μὲν ἐπὶ τοῖς δρωμένοις δυσκλείας εἰς ἑτέρους

A obrutus fuerat, terrâ continuò ex superioribus locis, maximè verò pluviarum tempore ad statuam aggestâ, quæ litterarum quibus singula narrabantur notitiam obliteraverat. Cùm igitur diligens fieret inquisitio, pars quidem statuæ quæ humo obruta erat, effossa est: litteræ verò repertæ sunt, quæ totam rei gestæ seriem indicabant. Ac planta quidem ex eo tempore non amplius visa est, necibi, nec alio in loco. Statuam verò in Diaconico Ecclesiæ collocarunt, competentem ei curam atque observantiam deferentes: nequaquam tamen eam colentes aut adorantes.
B Neque enim fas erat æneam aut aliam quamlibet materiam adorare. Sed hoc uno, quod eam honoratiore in loco collocaverant, & quòd spectandi causâ ad eum locum cupide adventarent, amorem ipsius Archetypi declarantes. Hanc igitur statuam regnante Juliano Gentiles qui Paneadem incolebant, ad impietatem incitati, à basi sua revulsam, funibus ad pedes circumligatis, per mediam plateam traxerunt. Post hæc reliquum quidem corpus distrahentes confregerunt. Caput verò inter trahendum à cervice disjunctum, nonnulli id quod fiebat ægre ferentes, clã-
C culo abripuerunt, & quoad fieri potuit conservarunt. Idque à se visum fuisse testatur Philostorgius. Cæterum Paneas olim Dan vocabatur, ex nomine Dan filii Jacob, qui princeps fuit unius tribus, quæ in his locis tunc sedes habebat, id cognomentum trahens. Secutis autem temporibus Cæsarea Philippi cognominata est. Sed cùm Gentiles Panis simulachrum in ea collocassent, in Paneadis vocabulum transiit.

4. Cùm multa atrocia Gentiles adversus Christianos ubique perpetrarunt, tum istud facinus ab iisdem admissum est in Palæstina. Elisæi Prophetæ & Joannis Baptistæ ossa, è loculis suis extracta: illic enim uterque eorum
D sepultus fuerat; brutorum animalium ossibus permiscentes, igni tradiderunt, & in cinerem redacta sparserunt in ventum. Nonnullis etiam in locis Christianos cùm comprehendissent, aris incensis tanquam victimas imposuerunt. Multa quoque alia dictu horrenda, velut furore perciti commiserunt. Quæ cùm Julianus probè nosset, non modo indignatus non est, verum etiam gaudio exultavit, cùm infamia quidem atrocium facinorum penes

alios esset; Ipsius autem voluntas factis A eorum adimpleretur. Sed cùm animadverteret, hujusmodi atrocitate nihil eorum quæ cupiebat, ad exitum perduci: Quippe Christianorum quos oppugnabat, animus magis ac magis confirmabatur: id commentus est, ut Episcopos qui ob varias causas expulsi fuerant, eosque qui in illorum locum substituti erant, inter se committeret. Utrique igitur parti licentiam de dit faciendi quæcunq; possent ad restitutionem suam ac defensionem. Quam ob causam illi inter si collisi, ingens dedecus atque opprobrium, quemadmodū apostatæ in votis erat, religioni nostræ B intulerunt. Alia quoque his adjecit non dissimilis malignitatis. Eos enim qui clero adscripti erant, ad publicas decurionum functiones retraxit, & Ecclesiarum annonas ministris Dæmonum tradidit. Denique omnia facere ac moliri non destitit, ut dæmonum quidem superstitio floreret: nostra autē religio, sicuti sperabat, penitus exstingueretur.

5. Dùm res hoc in statu essent, Eudoxius in memoriam revocans jusjurandum & sponsiones quibus se se apud Eunomium obstrinxerat in gratiam Aetii, litteras scripsit ad Euzoïum Antioch. Episcopum, mandans ut synodum colligeret, qua Aetius à damnationis sententia in ipsum olim prolata absolveretur. Verùm Euzoius nullam hujus petitionis rationē habuit: Eudoxium præcipue incusans, quod non ipse prior ea facere cœpisset, quæ aliis injungebat. Sed cùm Eudoxius idem flagitare perseverasset, Euzoius id se facturum promisit.

6. Dum Aetius & Eunomius Constantinopoli morarentur, accesserunt ad eos Leontius Tripoleos & Theodulus Chæretaporum Episcopus: Serras item ac Theophilus & Heliodorus ex utraq; Libya, & quicunq; alii eandem sententiam amplectebantur, qui nec damnationi Aetii, nec Occidentalium Epistolæ subscribere sustinuerant. Hi igitur in unum collecti, Aetium ordinarunt Episcopum. Omniaque apud illos erant Aetius & Eunomius: Sed & alios Episcopos ordinarunt, Eudoxio tum quidē non modo non indignante, verum etiā suffragium suum pro iis qui ordinandi erant ad Aetium deferente. Per idem tempus Euzoius quoque, cum novem

A ἀνιούσης, τῆς δὲ αὐτοῦ γνώμης τοῖς ἐκείνων ἔργοις περαινομένης συνιδὼν δὲ, διὰ τῆς τοσαύτης μανίας ὧν οὐδὲν ἐβούλετο περαινόμενον· μᾶλλον γὰρ τὸ χριστιανῶν πολιορκούμενον ἐπερρώννυτο φρόνημα· μηχανᾶται τοὺς ἐν αἰτίαις ἐκβεβλημένους τῶν ἐπισκόπων, καὶ τοὺς ἀντ' ἐκείνων ἔχοντας τοὺς θρόνους, εἰς πόλεμον συρράξαι· καὶ ἁπάσης ἐξουσίας ἑκατέρᾳ μοίρᾳ μετεδίδου, πράττειν ὅσα καὶ δυνατὰ αὐτοῖς εἴη εἰς τὴν οἰκείαν σύστασίν τε καὶ ἀσφάλειαν. ἐξ ὧν ἐκεῖνοι πρὸς ἀλλήλους συρρηγνύμενοι, πολλὴν ἀσχημοσύνην καὶ μέμψιν, ὅπερ ἦν τῷ ἀποστάτῃ σπούδασμα, B προσετρίβοντο τῇ εὐσεβείᾳ. καὶ ἄλλα δὲ τῆς αὐτῆς κακοτεχνίας συνεπήγε. τούς τε γὰρ ἐν κλήρῳ καταλεγομένους, εἰς τὴν τῶν βουλευτῶν ἀνέστρεφε λειτουργίαν. καὶ τῶν ἐκκλησιῶν τὰ σιτηρέσια τοῖς τῶν δαιμονίων θεραπευταῖς μετεδίδου. καὶ πάντα πράττειν οὐκ ἐνεδίδου, ἐξ ὧν τὰ μὲν ἀκμάσῃ τὰ τῶν δαιμόνων, τὰ δὲ τῆς εὐσεβείας ὡς ἐνόμιζεν εἰς ἀφανισμὸν συνελαθείη.

5. Ὅτι φησὶ τῶν πραγμάτων οὕτω φερομένων, εἰς μνήμην εὐδόξιος ἀνελθὼν τῶν ὅρκων καὶ τῶν ὑποσχέσεων ἃς ὑπὲρ ἀετίου πρὸς C εὐνόμιον ἀνεδέξατο, σύνοδον ἐπιστέλλει τῷ ἀντιοχείας εὐζωΐῳ συναθροῖσαι, δι' ἧς ἔδει τὸν ἀέτιον τῆς καταδικαζούσης ψήφου ἀπολυθῆναι. ὁ δὲ εὐζώϊος οὐδὲν πρὸς τὴν ἀξίωσιν ἐπεστράφη, αἰτιασάμενος μάλιστα τὸν εὐδόξιον, ὅτι μὴ αὐτὸς προκατήρξατο πράττειν, ἅπερ ὑποτίθησιν ἑτέροις. ἐπιμένοντος δὲ εὐδοξίου τῇ ἀξιώσει, ὑπισχνεῖται καὶ ὁ εὐζώϊος τὴν πρᾶξιν.

6. Ὅτι ἐν κωνσταντινουπόλει διατρίβοντος τοῦ ἀετίου καὶ εὐνομίου, παραγίνεται λεόντιος τῆς τριπόλεως πρὸς αὐτούς, καὶ θεόδουλος ἀπὸ χαιρετόπων, οἵ τε ἀμφὶ τὸν σέρραν καὶ θεόφιλον καὶ ἡλιόδωρον ἐξ ἑκατέρας λιβύης, καὶ ὅσοις D ἄλλοις γε ἡ αὐτὴ συνήρεσκε δόξα, οἳ μήτε τῇ τοῦ ἀετίου καταδίκῃ, μήτε τῷ τόμῳ τῶν ἑσπερίων ὑπογράψαι ἠνέσχοντο. καὶ συναθροισθέντες χειροτονοῦσι τὸν ἀέτιον· καὶ ἦν αὐτοῖς αὐτός τε καὶ εὐνόμιος ἅπαντα. ἐχειροτόνουν δὲ καὶ ἑτέρους ἐπισκόπους, οὐδὲν τέως τοῦ εὐδοξίου δυσχεραίνοντος, ἀλλὰ καὶ ψήφους πολλάκις ὑπὸ τῶν μελλόντων χειροτονεῖσθαι τοῖς περὶ ἀέτιον προκομίζοντος. ἐν τούτῳ δὲ καὶ εὐζώϊος εἰς ἐννέα τὸν ἀριθμὸν ἀθροισάμενος

σάμενος σύνοδον, τὰς κατὰ Ἀετίου γεγενημένας πάλαι πράξεις διελύσατο. ἔλυσε δὲ καὶ τὴν τοῦ ἑξαμήνου προθεσμίαν, μεθ' ἣν τοῖς περὶ Σέρραν, εἰ μὴ τῇ τοῦ Ἀετίου καθαιρέσει καὶ τῷ ἑσπερίῳ τόμῳ ὑπογράψαιεν, τῆς ἱερωσύνης ἀφαίρεσις ἡ ζημία διωρίζετο. ἑκατέρας δὲ τῶν εἰρημένων περιελθούσης πράξεως, τοὺς τόμους ἀποστέλλειν τοῖς περὶ Εὐδόξιον παρεσκευάζοντο. ἀλλ' ὁ κατὰ τῶν χριστιανῶν ἀνυπόστατος διωγμὸς, τὴν ὁρμὴν περιέκοψεν.

7. Ὅτι τὸν Οὐαλεντινιανὸν ὁ ἀποστάτης τάγματος ἐπάρχοντα στρατιωτικοῦ, κόμης γὰρ ἐχρημάτιζε τῶν λεγομένων κορνούτων· ἐπεὶ πάντα πράττων οὐδαμῶς αὐτὸν ἴσχυσε τῆς εὐσεβείας μεταστῆσαι, παραλύσας τοῦ ἀξιώματος, εἰς Θήβας τὰς Αἰγυπτίους φυγαδεύει. τοῦτον φασὶν ἡνίκα Κωνστάντιος ἐβασίλευσεν, ἰδεῖν τινα τῶν λεγομένων σιλεντιαρίων, πυρὸς φλόγα τοῦ στόματος ἀφιέντα. ἰδεῖν δὲ κατὰ τὸ δειλινὸν, ἡνίκα μετὰ τροφὴν τὸν ὕπνον αἱρούμεθα. καὶ ταῦτα σημηνῶν Κωνσταντίῳ. καὶ γὰρ ἐκείνου πέμψαντος αὐτὸν διά τινα χρείαν μετακαλέσασθαι τὸν Οὐαλεντινιανὸν, περιτυχεῖν τῷ θεάματι. ὁ δὲ Κωνστάντιος τῇ ἀγγελίᾳ εἰς ὑπόνοιαν μὲν καὶ δέος καθίστη· οὐδὲν γέ τι παρελύπησε τὸν ἄνδρα. παραμυθούμενος τὸ οἰκεῖον δέος, περὶ τὰ φρούρια τῆς Μεσοποταμίας ἐκπέμπει, φύλακα τῶν ἐκεῖσε τόπων ἐσόμενον, καὶ τὰς τῶν Περσῶν ἐπιδρομὰς ἀναστέλλοντα.

8. Ὅτι τὰ περὶ τοῦ μάρτυρος Βαβύλα, ὅσα τε Ἰουλιανὸς εἰς τὸ μαρτυρικὸν ἐκεῖνο σῶμα παρῴνησεν, ὅσα τε εἰπεῖν ἐξεβιάσθη τὰ δαιμόνια, καὶ ὅπως κεραυνῷ τὸ τοῦ Ἀπόλλωνος αὐτῷ καθ' ἱδρύματι ἀπετεφρώθη τέμενος, καὶ ὅσα ἄλλα κατὰ ἀνθρώπους τε καὶ ὑπὲρ ἀνθρώπους παρεδοξοποιήθη, οὐκ ἐπὶ μέγα παραλλάττοντα τοῖς ἄλλοις οὗτος ἱστορεῖ. λέγει δὲ μαρτυρῆσαι τὸν ἱερὸν Βαβύλαν σὺν τρισὶ παισὶ, κομιδῇ μὲν νέοις, τὸ γένος δ' ἀδελφοῖς. τὸ δὲ μαρτύριον ἀπ' ἀρχῆς τοιαύτης προελθεῖν. ἐπίσκοπος ἦν τῆς Ἀντιοχείας ὁ Βαβύλας. Νουμεριανῷ δὲ τῷ Ῥωμαίων βασιλεῖ, ἢ ὡς ἔνιοι Δεκίῳ φασι, κατά δή τινα δαίμονα γνώμην ἐμπεσεῖν, πληθυούσης τῆς ἐκκλησίας εἰσελθεῖν ἐν αὐτῇ. τὸν δέ γε τοῦ θεοῦ ἀρχιερέα κατὰ τὰ πρόπυλα στάντα τοῦ νεὼ,

A Episcoporum synodum collegisset, ea quæ contra Aetium olim gesta fuerant infirmavit. Infirmavit etiam sex mensium inducias, quibus elapsis sacerdotii privatio pæne loco irrogata fuerat Serræ, nisi Aetii depositioni & Occidentalium tomo subscripsisset. Porro cùm utrumq; negotium eorum quos supra nôminavi in hunc modum processisset, Euzoius Epistolas ad Eudoxium transmittere cogitabat. Verùm persecutio Christianorum quæ tunc erat intolerabilis, impetum ejus repressit.

7. Julianus Apostata Valentinianum numeri cujusdam militaris rectorem:
B erat enim Comes eorum qui Cornuti dicuntur, cùm omnibus frustra tentatis à pietate nunquam dimovere potuisset, dignitate privatum Thebas Ægyptias relegavit. Hunc olim dum Constantius Imperio potiretur, quidam ex Schola Silentiariorum, flammam ex ore vomentem vidisse fertur. Erat autẽ meridianum tempus, quando somnum capere solemus post cibum: idque Constantio renuntiasse. Ab eo enim missus ad accersendum Valentinianum cujusdam negotii causâ, huic spectaculo interfuerat. At Constantius ea re ipsi nuntiata, in suspicionem ac metum conjectus est.
C Nullâ tamen molestiâ Valentinianum affecit. Verùm ut timorem suum sedaret, ad castella Mesopotamiæ eum misit, ut iis locis præsidio esset, & Persarum excursiones comprimeret.

8. De Babyla Martyre, quot & quantis contumeliis sacrum ejus corpus affecerit Julianus: Quæ item dicere coacti fuerint Dæmones: & quemadmodum Apollinis templum unà cum simulacro, fulmine ictum conflagraverit: Reliqua denique admiranda, quæ partim humano more, partim supra humanas vires tunc gesta sunt, non multum ab
D aliis diversa narrat Philostorgius. Ait porro sanctum Babylam martyrio perfunctum esse unà cum tribus pueris fratribus, admodum adolescentibus; Martyrium verò ex hujusmodi causâ provenisse. Erat Babylas Episcopus Antiochiæ. Quodam igitur tempore Numerianum Rom. Imperatorem, sive ut alii dicunt Decium, à Dæmone invecta cupiditas incessit ingrediendi in Ecclesiam Christianorum, cùm populus ad eam frequentissimus convenisset. Verùm Sacerdos Dei ad Ecclesiæ vestibulum stans, aditum ei inter-

clusit, asserens non passurum se, quantum quidem in ipso erat, ut Lupus in ovile irreperet. Imperator verò statim quidem ab incœpto destitit, seu quod seditionem reformidaret, seu ob aliam quampiam causam mutatâ sententiâ. Episcopum verò, primùm quidem temeritatis accusavit: deinde dæmonibus sacrificare jussit. Unum enim id sacrificium esse, quo & crimen suum diluere, & inposterum honorem sibi ac gloriam comparare posset. Episcopus verò, cùm iis quæ ipsi proponebantur, forti ac generoso animo restitisset, martyrii coronam adeptus est.

9. Apostata Julianus, Servatoris nostri oracula, quibus Hierosolyma ita eversum iri prædixerat, ut ne lapis quidem supra lapidem esset remansurus, falsi convincere molitus, non modo eorum quæ studuerat, nihil perfecit: immo etiam certissimam eorundem veritatem invitus licet confirmavit. Nam cùm omnes undiq; Judæos collegisset, & pecunias iisdem ex ærario ac reliqua subsidia præbuisset, præcepit eis ut templum instaurarent. Verùm terrores divinitus immissi, quos nulla vis eloquentiæ explicare possit, non modo impetum illorum compresserunt: sed etiam, tum Imperatorem ipsum, tum Judæos, ad inopiam consilii redactos, summo dedecore affecerunt. Hinc enim ignis eos qui manum operi admovere ausi fuerant, depastus est: Hinc terræmotus obruit. Alios aliæ calamitates extinxére. Sic audacia q æ oracula Domini nostri ignominia afficere tentaverat, eorundem inviolabilem ac venerandam efficaciam imprudens palam prædicavit.

10. Cùm multi ex iis qui adversus Christianos & contra religionem debacchati fuerant, meritas pœnas dederunt: tum manifestissime & sub omniũ conspectu præsentes solverunt pœnas, Julianus Comes Orientis, avunculus Apostatæ Juliani, & Felix Comes largitionum, & Elpidius præpositus Domus regiæ, quos Romani vocare solent Comites rerum privatarum. Hi porro tres erant ex numero eorum, qui in Imperatoris gratiam à religione nostra desciverant. Ac felix quidem cùm nulla alia præcessisset causa, unâ ex interioribus venis quæ omnium maxima est subito ruptâ, sanguinis rivum ex ore effudit, & horrendum cunctis qui aderant spectaculum præbens, ne diem

A τὴν εἴσοδον ἀποτειχίζειν, φάσκοντα, ὅσα γε δυνατὸς εἴη, μὴ περιόψεσθαι λύκον τῇ ποίμνῃ παρεισδυόμενον. καὶ τὸν μὲν αὐτίκα τῆς ὁρμῆς ἀνακρουσθῆναι, εἴτε στάσιν ὑποπτευόμενον, εἴτε καὶ ἄλλως μεταβουλευσάμενον· τὸν ἐπίσκοπον πρῶτα μὲν τῆς τόλμης αἰτιάσασθαι, ἔπειτα δὲ κελεύειν τὸν ὅσιον τοῖς δαίμοσι θύειν· μόνην γὰρ εἶναι τὴν ἐξοσίωσιν ταύτην, λύσιν τε ἐγκλήματος καὶ τῆς μετὰ ταῦτα τιμῆς τε καὶ δόξης πρόξενον· τὸν δὲ, γενναίως πρὸς ἕκαστα τῶν προτεινομένων ἀντιταττόμενον, τὸν μαρτυρικὸν ἀναδήσασθαι στέφανον.

B 9. Ὅτι τοὺς τοῦ σωτῆρος χρησμοὺς, οἳ τὴν ἱερουσαλὴμ ἀνατετράφθαι λέγουσιν, ὥστε μηδὲ λίθον ἐπὶ λίθῳ μεῖναι, τούτους ὁ ἀποστάτης εἰς ψεῦδος ἐλέγχειν διανοηθεὶς, οὐ μόνον οὐδὲν ἤνυσεν ὧν ἐσπούδασεν, ἀλλὰ τὸ ἐν τοῖς χρησμοῖς, εἰ καὶ ἄκων, ἐβεβαίωσεν ἀμετάπτωτον. ὁ μὲν γὰρ τοὺς πανταχῇ συναγείρας ἰουδαίους, καὶ οἴκοθεν χρήματα καὶ δύναμιν ἄλλην παρέχων, ἀνακαινίζειν ἐπέτρεπε τὸ ἱερόν· δείματα δὲ θεήλατα γεγονότα διήγησιν ὑπερβαίνοντα, οὐ μόνον ἔσβεσεν αὐτῶν τὴν προθυμίαν, ἀλλὰ καὶ αὐτὸν καὶ τοὺς ἰουδαίους
C εἰς ἐσχάτην ἀμηχανίαν καὶ αἰσχύνην κατέστρεψαν. τοῦτο μὲν γὰρ, πῦρ ἐπενέμετο τοὺς ἐργάζεσθαι τολμῶντας. τοῦτο δὲ, σεισμὸς ἐχώννυεν, καὶ ἄλλους ἄλλα πάθη κατεμερίζετο. καὶ ἡ καταισχύνειν τὰ δεσποτικὰ λόγια μελετήσασα τόλμα, τὸ ἐκείνων ἀκαταίσχυντον καὶ σεβασμιώτατον λέληθεν ἑαυτὴν ἀνακηρύττουσα.

10. Ὅτι πολλοὶ μὲν τῶν εἰς τοὺς χριστιανοὺς καὶ τὴν εὐσέβειαν ἐκμανέντων, δίκας ἔτισαν οὐ μεμπτάς· εἰς τὸ περιφανέστατον δὲ καὶ ἐπιφανεῖς, ἰουλιανός τε ὁ τῆς ἑώας ἄρ-
D χων, θεῖος ὢν κατὰ τὸ μητρῷον γένος τοῦ ἀποστάτου ἰουλιανοῦ, καὶ φῆλιξ ὁ τοὺς θησαυροὺς ἐπιτετραμμένος, καὶ ἐλπίδιος τῆς βασιλικῆς οἰκίας προεστώς. κόμητας πριβάτων ἡ ῥωμαίων γλῶττα καλεῖ. οὗτοι δ' οἱ τρεῖς, τῶν ἐξαρνησαμένων τὴν εὐσέβειαν εἰς τὸν βασιλέα κεχαρισμένοι ἦσαν. ὁ μὲν οὖν φῆλιξ οὐδεμιᾶς ἐμφανοῦς αἰτίας, τῶν ἐν βάθει φλεβῶν μιᾶς τῆς μεγίστης ἀναρραγείσης, αἵματός τε αὐλὸν ἐξέπεμψεν ἐκ τοῦ στόματος, καὶ θέαμα τοῖς ὁρῶσι γενόμενος φοβερὸν, οὐδὲ δι' ὅλης ἡμέρας

ἤρκεσεν. ἀλλὰ περὶ δείλην ὀψίαν τοῦ αἵματος ἐπιλείποντος, καὶ τὴν ψυχὴν συναπέβαλε. ὁ δέ γε ἰουλιανὸς ἀργαλέᾳ καὶ δυστεκμάρτῳ βληθεὶς νόσῳ, ἐπὶ τεσσαράκοντα τὰς ὅλας ἡμέρας ἀποτάδην ἔκειτο, μήτε φθεγγόμενος, μήτέ τινα συναίσθησιν ἔχων· μικρὸν δέ πως ἀπορρᾳΐσας, πολλὰ μὲν κατεγνώσκεν ἑαυτὸν τῆς ἀθεμίτου τόλμης, καὶ τὴν δίκην ἐκεῖθεν αὐτῷ συναίσθησιν ἔλαβε καταῤῥαγῆναι. καὶ μέχρι τοῦ μάρτυρα αὐτὸν ἑαυτοῦ τῆς ἀνοσιουργίας γενέσθαι ἀνενεγκὼν, παντοδαποῖς ἕλκεσι τὴν γαστέρα σπασθεὶς, συνδιεῤῥάγη καὶ τὴν ψυχήν. καὶ ὁ ἐλπίδιος δὲ, εἰ καὶ τῶν ἄλλων βραδύτερον, ἀλλ' οὖν τοῦ τῇ προκοπίου τυραννίδι συμπράττων φωραθεὶς, ὃς ἐπανέστη τῷ οὐάλεντι, τῶν τε χρημάτων γυμνωθεὶς, καὶ εἱρκταῖς καταδυθεὶς, ἀκλεῶς καταστρέφει τὸν βίον, ἐπάρατος πᾶσι γεγονὼς, καὶ ὁ θύτης ἐλπίδιος ἐπονομαζόμενος. ἄλλος δέ τις συνεισελθὼν τοῖς εἰρημένοις ἐν τῇ ἐκκλησίᾳ, ἣν ἐπόρθουν καὶ ἀπεσύλων τὰ ἀναθήματα, καὶ τὰ κειμήλια λαφυραγωγοῦντες, τὸν ἐν αὐτοῖς θεραπευόμενον ἐξυβρίζον. ἐπεὶ δὴ προσανασυράμενος τὴν ἐσθῆτα, τῷ θυσιαστηρίῳ ἐνασελγαίνων ἐναπεύρησε, καὶ παραυτίκα ποινὴν χαλεπὴν καὶ ὀξεῖαν ἀπέτισε· δι' ὧν γὰρ ὕβρισε μορίων, ταῦτα μέχρι τῶν ἐντέρων διασαπεὶς, καὶ σκωλήκων ἀδιήγητον χρῆμα τεκνώσας, οἰκτρῶς ἄγαν καὶ οὐδ' ἀφηγήσεως ἀξίως, καταστρέφει τὸν βίον. καὶ μὴν δὴ καὶ ἕτεροι παραπλήσια τετολμηκότες, ἐφαμίλλους τὰς τιμωρίας δεδώκασιν.

11. Ὅτι ῥωμαίων ὁ βασιλεὺς ἀδριανὸς, ὃς αἴλιος ἐπωνόμαστο, τὰ ἱεροσόλυμα αἰλίαν ἐξ ἑαυτοῦ μετεκαλέσατο. ὡς ἂν παντάπασι τὸ ἰουδαίων αὐτῆς ἔθνος ἀποστήσῃ καὶ ἀποῤῥήξῃ, καὶ μηδ' ἐκ τῆς κλήσεως ὡς πατρίδος αὐτῆς ἀντιποιεῖσθαι πρόφασιν ἐχούσης. ἐδεδίει γὰρ αὐτῶν τὸ θερμουργὸν καὶ ῥιψοκίνδυνον, μὴ συναγειρόμενοι κατὰ πρόφασιν ἐν τῇ πόλει λατρείας, πράγματα ῥωμαίοις παρέξωσιν.

12. Ὅτι φησὶ βαβύλα τοῦ μάρτυρος τῶν λειψάνων μετατεθέντων, τὰ τῶν ἑλλήνων χρηστήρια, τοῦ κατὰ δάφνην ἀρξαμένου, χρησμοὺς ἀνεδίδου καὶ λόγια, τῆς θείας προνοίας φθέγγεσθαι μὲν αὐτοῖς ἐνδιδούσης, τρεπούσης δὲ τὴν ἐς τιμὴν αὐτοῖς

A quidem totum superfuit; sed sub vesperam deficiente sanguine, animal simul efflavit. Julianus verò difficili & ignoto correptus morbo, totos quadraginta dies supinus jacuit, nec loquens quidquam, nec sensu ullo præditus. Postea verò cum paullo comodius se habere cœpisset, impium facinus quod admiserat, identidem damnavit, eamque ob causam id supplicium sibi irrogatum esse confessus est: & hactenus morbo levatus quoad usque suæ ipsius impietatis testis exstitisset, omni ulcerum genere ventrem ejus dilacerante, animam inter cruciatus exhalavit. Elpidius denique, licet serius quam reliqui, tamen cùm Procopii qui adversus
B Valentem rebellaverat, tyrannidi favisse deprehensus fuisset, bonis spoliatus, & in carceribus perpetuo degens, cum summa ignominia vitam finivit, omnibus eum detestantibus, & sacrificatorem Elpidium cognominantibus. Alius præterea quidem unà cum supradictis ingressus in Ecclesiam, quam illi vastabant ac spoliabant, sacra vasa ac donaria deprædantes, Deumq; qui per hæc colebatur, contumelia afficientes: hic inquam levata veste petulanter in altare impinxit: statimq; acerbissimas ac præsentes pœnas persolvit. Iisdem enim membris quibus ad contumeliam
C abusus fuerat, ad interiora usq; viscera putrefactis, & immensam vermium multitudinem gignentibus, prorsus miserabili exitu & qui ne referri quidem meretur, interiit. Sed & alii plures qui ejusmodi facinora perpetrare ausi fuerant, non minores pœnas dederunt.

11. Hadrianus Imperator Romanorum, qui Ælius dicebatur, urbem Hierosolymam ex suo nomine Æliam appellavit, eo consilio ut Judæorum gentem ab ea penitus arceret atq; excluderet: Ne vel ex ipsa appellatione prætextum haberent Judæi, eam tanquam pa-
D triam sibi vindicandi. Quippe Hadrianus fervidum illorum ac temerarium ingenium reformidabat, ne forte sacrificandi specie in ea urbe congregati, negotium Romanis facesserent.

12. Post translationem reliquiarum martyris Babylæ, gentilium oracula, initio facto ab eo quod erat apud Daphnen, responsa ac vaticinia ediderunt: cùm divina providentia eis ut loquerentur, quidem permisisset: studium verò & cultum ipsis eorum cultoribus in summum dedecus convertisset, quan-



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

tò enim ardentiore ſtudio gentiles ſtu-
duerunt ut dæmones oracula redde-
rent, quo juſtiorem cauſam haberent
eos divinis honoribus afficiendi: eo
magis infirmitatem eorum ac fallaciam
deprehendere compulſi ſunt à divina
providentia. Quippe oracula quæ inde
profluxerunt, falſa atq; imperfecta ap-
paruere. Certe cùm omnia ſigillatim
oracula reſpondiſſent, Julianum Im-
peratoris avunculum, qui tum morbo
laborabat, nequaquam eſſe moritu-
rum; dum ea ipſa legerentur oracula,
animam miſerabiliter exhalavit.

13. Heron quidam ex urbe Ægypti
Thebis oriundus, & qui Epiſcopatum
geſſerat, cùm poſtea ad ſuperſtitionem
Gentilium deſciviſſet, repente putre-
dinis morbo correptus eſt: quæ totum
illius corpus depaſta, abominabilem il-
lum præſtitit. Undiq; igitur ad ſumam
redactus inopiam, in plateis jacebat,
cùm nemo illũ miſericordia ulla pro-
ſequeretur. Nam Chriſtiani quidem
eum penitus averſabantur. Gentiles
verò eum hactenus norant, quatenus
in erroris ſocietatem eum traduxe-
rant. Et Heron quidem ita acerbo atq;
infelici exitu periit. Sed & Theotec-
nus quidam ad Gentilium ſuperſtitio-
nem transgreſſurus, repente toto cor-
pore putrefacto, vermium receptacu-
lum factus eſt. Qui cùm oculos eleſſo-
diſſent, ad extremum inſania correptus
eſt. Et ſua ipſius lingua conciſa &
comeſa, ex acerbiſſimis tormentis ad
multo graviora ſupplicia eſt transmiſ-
ſus. Multa hujusmodi prodigia Deus
tunc edidit, ab iis qui impudenter à
pietate deſciverant, meritas eorumq;
ſceleri reſpondentes exigens pœnas.

14. Julianus cùm urbem Hieroſoly-
ma inſtaurari juſſiſſet, eo conſilio ut do-
mini noſtri de illa prædictiones irritas
eſſe convinceret, prorſus contrarium
iis quę moliebatur effecit. Nam & mul-
ta alia prodigia cœlitus immiſſa opus
repreſſerunt. Et cùm fundamenta pa-
rarentur, unus ex lapidibus qui in ima
baſi collocabatur, ſuo loco demotus,
hoſtium antri cujusdam aperuit, quod
in rupe excavatum erat. Sed cùm ob
profunditatem ea quæ intus erant cer-
nere difficile eſſet, curatores operum
rei cognoſcendæ cupidi, quendam ex
operariis prolixo funi adſtrictum de-
miſerunt. Hinc demiſſus, aquam in
antro reſidem ad media usque crura
reperit. Et cùm undiq; locum circuiſ-

A ὁρῶσι σπουδὴν εἰς αἰσχύνην ἄφατον. ἡ γὰρ δι'
ὧν ἐσπουδάζετο τὸ ἑλληνικὸν κινῆσαι τὰ δαιμό-
νια, ἵν' ἔχοιεν ἐπὶ μᾶλλον θειάζειν αὐτά, ἐκ
τούτων τὸ ἀσθενὲς αὐτῶν καὶ πεπλανημένον διε-
λέγχειν τῇ θείᾳ προνοίᾳ συνηλαύνοντο. ψευ-
δεῖς γὰρ καὶ ἀτελεῖς κατά γε τὸ προφανέστατον
οἱ ἐκεῖθεν χρησμοὶ ἐγνωρίζοντο· ὅθεν καὶ προ-
θεσπισάντων ἅμα πάντων καθ' ἕκαστον τῶν μαν-
τείων, ὡς ἰουλιανὸς ὁ τοῦ βασιλέως θεῖος νοσῶν οὐ
τεθνήξεται, ἐν αὐταῖς τῶν χρησμῶν ἀναγνώσεσιν
οἰκτρῶς ἐκεῖνος καὶ ἐλεεινῶς τὸν βίον ἀπέρρηξεν.

13. Ὅτι φησὶν ἥρωνά τινα ἐκ θηβῶν τῶν αἰ-
B γυπτίων ὁρμώμενον, καὶ εἰς ἐπισκόπους τελέ-
σαντα, εἶτα πρὸς ἑλληνισμὸν μεταβαλόντα,
παραχρῆμα νόσος σηπεδονώδης ἀπέλαβε, καὶ
πᾶν καταβοσκηθεῖσα τὸ σῶμα, βδέλυγμα
πᾶσιν ὑπέδειξεν. ὁ δὲ πανταχόθεν ἀπορούμενος,
ἐν ταῖς ἀμφόδοις κατέκειτο, μηδ' ὅν τινα οὐ-
δαμόθεν ἕλκων ἔλεον. τῶν μὲν χριστιανῶν παν-
τελῶς αὐτὸν ἐκτρεπομένων. τῶν ἑλλήνων δὲ μέχρι τοῦ
καθυποβαλεῖν αὐτὸν τῇ πλάνῃ, μόνον αὐτὸν
ἐγνωκότων· ἀλλ' ὁ μὲν ἥρων πικρῶς οὕτω καὶ
παναθλίως τῆς ζωῆς ἀπελήλατο. καὶ θεό-
τεκνος δέ τις πρὸς τὸν ἑλληνισμὸν ἀπορρυείς,
C πᾶσαν ἀθρόως τὴν σάρκα διασαπεὶς καὶ σκω-
λήκων ὕλη γεγονώς, καὶ δὴ καὶ τοὺς ὀφθαλμοὺς
ὑπ' αὐτῶν ἐξορυχθείς, τελευτῶν εἰς μανίαν
ἐτράπη, καὶ τὴν ἑαυτοῦ γλῶτταν καταφαγών,
ἐκ πικρῶν βασάνων εἰς πολὺ χαλεπώτερα
παρεπέμφθη κολαστήρια. καὶ πολλὰ τοιαῦτα
τὸ θεῖον ἐτερατούργει, ἀντιρρόπους τὰς ποινὰς
παρὰ τῶν ἀναιδῆν ἀσεβούντων εἰσπραττόμενον.

14. Ὅτι προστάξας, φησὶν, ἰουλιανὸς τὰ
ἱεροσόλυμα ἀνοικοδομεῖσθαι, ὡς ἂν τὰς ἐπ'
αὐτῶν δεσποτικὰς προρρήσεις ἀκύρους ἐλέγξῃ,
D τοὐναντίον ἅπαν ὧν ἐσπούδασεν, ἐξειργάσατο.
ἄλλα τε γὰρ τέρατα ὑπερφυῆ τὸ ἔργον κατα-
σκήψαντα ἐπέσχε. καὶ δὴ καὶ τῶν θεμελίων ὑ-
ποτρεπιζομένων εἷς τῶν λίθων, εἰς τὴν ἐσχάτην
κρηπῖδα τεταγμένων κινηθείς, στόμιον ἄν-
τρου τινὸς παρέδειξεν, ἐνειργασμένου τῇ πέτρᾳ.
ὡς δ' ἄπορος ἦν διὰ τὸ βάθος ἰδεῖν τὰ ἔν-
δον, βουλόμενοι γνῶναι τὸ σαφὲς οἱ τοῖς ἔρ-
γοις ἐφεστῶτες, καθιᾶσι τινὰ τῶν ἐργατῶν
σχοίνου μακρᾶς ἐκδησάμενοι. ὁ δὲ καθιμηθεὶς
ὕδωρ μὲν εὗρεν εἰς μέσας κνήμας κατὰ τὸ ἄν-
τρον συνεστηκός. πανταχοῦ δὲ περιελθὼν καὶ τοῦ

χων ἐφαψάμενος, τετράγωνον μὲν τὸ ἄντρον εὗ-
ρε. ἀναστρέφων δὲ καὶ κατὰ τὸ μέσον γεγονὼς, ἐντυγχά-
νει στήλῃ τινὶ, βραχὺ διεχούσῃ τοῦ ὕδατος· ᾗ τὴν
χεῖρα ἐπιβαλὼν εὑρίσκει βιβλίον αὐτῇ ἐπι-
κείμενον, λεπτοτάτῳ καὶ καθαρωτάτῳ περικ-
ειλημμένον ἡμιτυβίῳ. ἀνελόμενος δὲ ὡς εὗρε τὸ
βιβλίον, σημαίνει δεῖν αὐτὸν ἀνακομίζειν· ἀνα-
κομισθεὶς δὴ, ἐπιδείκνυσι τὸ βιβλίον, καὶ εἰς
θάμβος ἅπαντας ἄγει, μάλιστα δ' ὅτι τὸ νεαρ-
ὸν τὸ ἀθιγὴ παρεῖχε τὴν θέαν, καὶ ὡς ἐν ἐκεί-
νῳ ἀνευρεθὲν τῷ χωρίῳ. τὸ δὲ ἄρα τὸ βιβλίον, ὃ
τὸ πλέον ἕλληνας καὶ ἰουδαίους κατέπληξεν, εὐ-
θὺς κατ' ἀρχὰς ἀναπτυχθὲν, μεγάλοις ἔλεγε
γράμμασιν, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος
ἦν πρὸς τὸν θεόν. καὶ θεὸς ἦν ὁ λόγος· καὶ ἁ-
πλῶς ὁλόκληρον ἡ γραφὴ τὸ εὐαγγέλιον ἐδείκ-
νυ, ὅπερ ἡ θεολόγος τοῦ μαθητοῦ καὶ παρθένου εὐ-
αγγελίσατο γλῶσσα. ἐδήλου δὲ ἄρα μετὰ τῶν ἄλ-
λων παραδόξων ἔργων ἃ κατ' ἐκεῖνο καιροῦ οὐ-
ρανόθεν ἐπεδείχθη, μὴ ἄν ποτε διαπεσεῖν
δεσποτικὴν ἀπόφασιν, ἥ περ τὴν εἰς τέλος ἐ-
ρήμωσιν τοῦ νεὼ προανεῖπε. καὶ γὰρ θεόν τε ἐ-
θεολόγει τὸ βιβλίον τὸν ταῦτα προτεθεσπι-
κότα καὶ δημιουργὸν ἁπάντων· καὶ ἔλεγχος ἦν
τοῦ μάτην ἐκείνους περὶ τὴν οἰκοδομὴν ποιεῖσθαι,
τῆς θείας καὶ ἀμεταθέτου ψήφου τὸν εἰς τέλος τοῦ
νεὼ ἀφανισμὸν καταψηφισαμένης. τὰ μέντοι
ἱεροσόλυμα, ἰεβοὺς πρότερον ἐκαλεῖτο, τῶν τῆς
βενιαμίτιδος φυλῆς ταύτην ἐνοικούντων,
πρὶν ἢ δαβὶδ ὁ βασιλεὺς ὑποσχέσει στρατηγί-
ας ἑλὼν αὐτὴν διὰ τοῦ ἰωάβου, ἐκείνῳ τε τὴν ὑπό-
σχεσιν ὡς ὑπεδέξατο δίδωσι, καὶ αὐτὸς πό-
λιν ἐν αὐτῇ δειμάμενος, μητρόπολιν τοῦ παν-
τὸς ἔθνους τῶν ἑβραίων ἀπειργάσατο.

15. Οὕτω τοῖς πανταχόθεν χρησμοῖς τῶν ἑλ-
λήνων ὁ παραβάτης ἀναπεισθεὶς ὡς ἄμαχον
ἕξει τὸ κράτος, κατὰ περσῶν ἐκστρατεύει. γέρων
δέ τις τῶν παρὰ πέρσαις τῆς στρατείας ἀφειμένων
ἤδη ἀπάτῃ μετέρχεται τὸν παραβάτην ἐν περσί-
δι στρατευόμενον. καὶ ἐρημίαις ἐν τόποις καὶ ἀμη-
χάνοις συγκλείσας ἀπορίαις, ἐν οἷς τὸ πλεῖστον τοῦ
λαοῦ διεφθάρη, ἕτοιμον θήραμα τοὺς πολε-
μίους τοῖς ὁμοφύλοις παρέχεται· τὸ δὲ περσικὸν
ἐπελαύνει κατ' αὐτῶν, συνεπαγόμενον καὶ

A set, & parietes contrectasset, antrum
quadratum esse deprehendit. Reversus
deinde, cùm in medio constitisset, co-
lumnam quandam offendit quæ paulu-
lum supra aquam exstabat. Quam cùm
manu apprehendisset, librum ei impo-
situm reperit, tenuissimo ac purissimo
linteo involutum. Cumque eum uti
invenerat, sustulisset, signum dedit ut
ipsum retraherent. Retractus igitur o-
stendit librum, & universos admiratio-
ne perculit, ob id maximè quod recens
adhucatq; intactus videbatur, & quòd
in eo loco repertus fuisset. Hic igitur li-
ber, quod Gentilibus ac Judæis majori
B adhuc admirationi fuit, confestim a-
pertus, in capite hoc habebat scriptum
grandioribus litteris. In principio erat
Verbum, & Verbum erat apud Deum,
& Deus erat Verbum. Prorsusque hic
liber integrum illud continebat Evan-
gelium, quod sacra Discipuli Virginis-
que lingua annuntiaverat. Porrò hoc
miraculum una cum aliis prodigiis quæ
tunc cœlitus ostensa sunt, perspicue in-
dicabat, nunquam in irritum casuram
esse sententiam Domini, quæ templi
vastationem perpetuo mansuram præ-
dixerat. Liber enim ille, eum qui ista
multo ante pronuntiaverat, Deum &
universi Conditorem esse prædicabat.
C Certissimumque erat indicium, frustra
eos in ædificando laborare, cùm im-
mutabilis Dei sententia templum per-
petua subversione damnasset. Ipsa quī-
dē urbs Hierosolyma, antea Jebus vo-
cabatur, tribulibus Benjamiticæ Tribus
eam incolentibus, priusquam Rex Da-
vid, operâ Joabi eam cepisset. Cui cùm
exercitus imperiū promisisset si ea urbe
potiretur, urbe capta, id quod ei promi-
serat tradidit. Ipse in eodem loco urbē
ædificans, universæ gentis Hebræo-
rum Metropolim eam esse voluit.

15. Apostata Julianus cunctis undi-
D que Gentilium oraculis confisus, quòd
invictam vim esset habiturus, adversus
Persas expeditionē suscepit. Senex ve-
rò quidam qui jampridem missione do-
natus fuerat apud Persas, dolo ac perfi-
dia circumvenit Apostatam in Perside
bellum gerentem. Qui cùm Romanos
in inviam quandam solitudinem, & in
maximas difficultates conjecisset, in
quib⁹ maxima pars exercit⁹ periit, ho-
stes velut prædā venaticā popularib⁹ su-
is tradidit. Persæ enim in Romanos ir-
ruerūt, adjunctis sibi fœderatis equitib.

Saracenis qui contos geſtabant. Quorum unus cùm haſtam in Julianum intorſiſſet, eum in fæmore circa peritonæum percuſſit. Et cùm cuſpis extraheretur, ſtercus quoque unà cum ſanguine ſecutum profluxit. Ac percuſſori quidem Saraceno, unus ex Imperatoris protectoribus in eum irruens, caput abſcidit. Julianum verò lethali vulnere percuſſum, Romani confeſtim ſcuto impoſitum in tabernaculum aſportarunt. Multique à Romanis id facinus admiſſum eſſe exiſtimarunt, eò quòd repente, ac momento temporis id vulnus inflictum fuerat. Nec unde inflictum erat quiſquam ſciebat. At verò miſer Julianus cruorem ex vulnere manibus ſuis excipiens, ad Solem projecit, elata voce dicens: Satiare. Sed & alios Deos, malos atque exitiales appellavit. Erat in ejus Comitatu præſtantiſſimus medicorum Oribaſius, oriundus ex Sardibus Lydiæ. Sed vulnus omni medicinæ arte ſuperius, Juliano intra triduum vitam ademit, cùm Cæſaris quidem dignitatem quinquennio: Auguſtum autem imperium poſt mortem Conſtantii duobus annis ac dimidio geſſiſſet. Et Philoſtorgius quidẽ hoc loco ſcribit, Julianum hauſtum ſanguinẽ in ſolẽ projeciſſe, & Diis ſuis convicia tum eſſe. Pleriq; tamen hiſtoriæ Scriptores, utrumq; horum à Juliano factũ eſſe tradunt adverſus Dominum noſtrum ac Deum verum Jeſum Chriſtũ.

A σὺν ὑποσπόνδους κοντοφόρους Σαρακηνοὺς, ὧν εἷς ἐπὶ τὸν Ἰουλιανὸν τὸ δόρυ ἐκτείνας, πλῆξαι μὲν αὐτὸν ἐν ἰσχύϊ κατὰ τὸ περιτόναιον. ἅμα δὲ τῇ αἰχμῇ ἐξελκομένῃ, καὶ κόπρος τις ἐπηκολούθησε συνεπισπωμένη τῷ αἵματι. εἶτα τὸν μὲν βαλόντα Σαρακηνὸν εἷς τῶν δορυφόρων ἐπελθὼν, τῆς κεφαλῆς ἀποτέμνει. τρωθέντα δὲ καιρίαν τὸν Ἰουλιανὸν, οἱ οἰκεῖοι διὰ τάχους ἀναλαβόντες ἐπ' ἀσπίδος, εἰς τὴν σκηνὴν ἀνεχώρουν. καὶ τοῖς πολλοῖς διὰ τὸ ἀθρόον καὶ δι' ὀλίγου συμβῆναι τὴν πληγὴν, καὶ μηδ' ὅθεν ἰδεῖν ἠνέχθη, παρὰ τῶν οἰκείων ἐνομίσθη τὸ πά-
B θος προελθεῖν. ἀλλ' ὅ γε δείλαιος Ἰουλιανὸς τοῦ τραύματος ταῖς χερσὶν ὑποδεχόμενος τὸ αἷμα, πρὸς τὸν ἥλιον ἀπέρραινε, διαρρήδην πρὸς αὐτὸν λέγων. κορέσθητι. καὶ δὴ καὶ τοὺς ἄλλους θεοὺς, κακούς τε καὶ ὀλετῆρας ἐκάλει. ἰατρῶν μέντοιγε ἄριστος ὁ Λυδὸς Ὀρειβάσιος αὐτῷ συνῆν ὁ ἐκ Σάρδεων· ἀλλ' ἡ πληγὴ πᾶσαν χλευάζουσα θεραπείαν, διὰ τριῶν ἡμερῶν τὸν Ἰουλιανὸν ἀπαλλάττει τοῦ βίου. ἐν μὲν τῷ τοῦ καίσαρος σχήματι, πέντε ἐνιαυτοὺς, ἐν δὲ τῷ διαδήματι μετὰ τὸν Κωνσταντίου θάνατον,
C δύο καὶ ἥμισυ διανύσαντα ἔτη. καὶ οὗτος μὲν εἰς τὸν ἥλιον ἀπορραίνειν τὸ αἷμα, καὶ τοὺς αὐτοῦ θεοὺς κακολογεῖν. οἱ δὲ πλεῖστοι τῶν ἱστορούντων, εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεὸν, ἑκάτερον γράφουσιν ἐναπορρίψαι.

## EX LIBRO OCTAVO HISTORIÆ.

POST obitum Juliani, exercitus poſtero die Jovianum Imperatorem renuntiavit. At ille: neque enim alia ratio expediendæ ſalutis ſupererat, cùm univerſus exercitus ad decimam partem redactus eſſet: tricennales inducias pactus eſt cum Perſis, Niſibi ipſa eis tradita, & caſtellis, quæcunque propugnaculi inſtar adverſus Perſas à Romanis objecta erant ad Armeniam usq;. Porro cadaver Juliani, Merobaudes & qui cum illo erant, cùm in Ciliciam deportaſſent, non conſulto, ſed caſu quodam è regione ſepulchri in quo Maximini oſſa erant condita, depoſuerunt, viâ publicâ duntaxat loculos eorum à ſe invicem ſeparante.

2. Euzoïus & qui cùm illo erant Epiſcopi, libellum quidem pro Aetio ejuſque doctrinâ conſcripſerunt: operã tamen non dederunt, ut res ad exitum

## ΕΚ ΤΗΣ ΟΓΔΟΗΣ ΙΣΤΟΡΙΑΣ.

Ὅτι τῇ ἐπαύριον τοῦ διαφθαρῆναι τὸν ἀποστάτην, ἀνίστησιν ὁ στρατὸς Ἰωβιανὸν βασιλέα. ὁ δὲ, οὐ γὰρ ἦν ἄλλως διασωθῆναι, εἰς δέκατον μέρος τῆς ὅλης στρατιᾶς ἀπολεπτυνθείσης, τριακοντούτεις τίθεται πρὸς τὸν Περσῶν σπονδὰς, τῆς Νισίβεως αὐτοῖς ὑπεκστὰς, καὶ τῶν φρουρίων ὅσα Ῥωμαίοις ἐπὶ Πέρσας ἄχρι τῆς
D Ἀρμενίας οἱονεὶ τεῖχος προὐβέβλητο. τὸν δὲ νεκρὸν Ἰουλιανοῦ Μεροβαύδης καὶ οἱ σὺν αὐτῷ εἰς Κιλικίαν κομίσαντες, οὐ κατὰ πρόνοιαν, κατὰ δέ τινα περιφορὰν, ἀντικρὺ τοῦ τάφου ὃς τὰ Μαξιμίνου συνεῖχεν ὀστᾶ, κατέθεντο, λεωφόρου μόνης ἀπ' ἀλλήλων τὰς θήκας αὐτῶν διατειχιζούσης.

2. Ὅτι Εὐζώϊος, φησὶ, καὶ οἱ σὺν αὐτῷ τὸ μὲν, ὑπὲρ Ἀετίου καὶ τοῦ δόγματος τόμον ἐξέθεσαν· οὐ μήν γε περαίνειν ταῦτα δια-